# TEZAUR LITURGIC

## 19 OCTOMBRIE

GHEORGHIOS GALANOPOULOS

# PARACLISUL SF.PROROC IOIL

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 19 ΟΚΤΩΒΡΙΟΣ
# ΙΩΗΛ ΠΡΟΦΗΤΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησου καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τοῦ Ἰωὴλ τοῦ θεηγόρου Προφήτου, περιχαρῶς πανηγυρίσωμεν πάντες, ἐν τοῖς ναοῖς προστρέχοντες τὴν μνήμην αὐτοῦ, βίον ἔνθεον μιμούμενοι, ἀρετάς του θεοειδεῖς, χάριτας καὶ δωρεάς, θείου Πνεύματος πίστει, λαβόντος πρέσβυν ἔχοντες Θεῷ, ὅπως πρεσβεύῃ, ἡμῖν ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Θεῖε Ἰωήλ, πιστοὺς διασώζοις. Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Θερμαῖς σου δεήσεσι πρὸς Θεόν, διάσωζε πάντας, τῶν ἐν βίῳ δυσχερειῶν, τοὺς πόθῳ καὶ πίστει ἀδιστάκτῳ, ὦ Ἰωὴλ σῇ πρεσβείᾳ προστρέχοντας.

Ἐλθὲ εἰς βοήθειαν Ἰωήλ, ἡμῶν τῶν τιμώντων, φωτοφόρον σου ἑορτήν, καὶ τάχει θεράπευσον τὰ ἄλγη, καὶ εὐρωστίαν τοῖς σώμασι βράβευσον.

Ἰσχὺν ἡμῖν δίδου ἀεὶ σοφέ, ψυχαῖς ἵν' ἁπάσας, διανοίας τὰς ἐκτροπάς, σὺν πάθεσι ταύταις ὦ Προφῆτα, τῇ σῇ δυνάμει ἀντιπαρερχόμεθα.

*Θεοτοκίον.*

Εἰρήνην ἐβράβευσε Σὸς Υἱός, ὁ λύσας τῆς Εὔας, τὴν κατάραν καὶ τοῦ Ἀδάμ, Παρθένε σαρκούμενος αἱμάτων, ἐκ Σοῦ ἁγνῶν ἣν κἀμῖν πᾶσι δώρησαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἰταμὰς τοῦ βελίαρ σὺ στρατιὰς ἤλασας, ἔχθραν Ἰωὴλ γηγενέσι, μὴ ἐνδεικνύμενος, ταῖς προσευχαῖς γρηγορῶν, καὶ τὸν Χριστὸν ἱκετεύων, Ὃν ἡμᾶς λυτρώσασθαι, σοφὲ δυσώπησον.

Ὦ Προφῆτα νῦν ῥῦσαι τοὺς ψαλμικῶς ὄνομα, μέγιστον ᾀδόντων Δεσπότου, τούτους ἀπήμονας, τηρῶν ἐκ βλάβης δεινῶν, καὶ ἐκτελούντων σὴν μνήμην, μνήσθητι δεόμεθα, ἐν ὥρᾳ κρίσεως.

Ἡ θεόφθογγος γλῶττα ταῖς δωρεαῖς Πνεύματος, ῥήματα ἐλάλησε θεῖα, Προφῆτα ἔνδοξε· διὸ σοφὲ Ἰωήλ, σὲ ἱκετεύομεν πάντες, πονηρίας πνεύματα, πόῤῥω ἀπέλασον.

*Θεοτοκίον.*

Λυτρουμένη τὸ γένος ὡς συμπαθὴς Δέσποινα, πάντοτε ἐλαύνεις τὰς νόσους, βαλσάμῳ χάριτος, Σαῖς μητρικαῖς πρὸς Υἱόν, εὐμενεστάταις πρεσβείαις, τάχει θεραπεύουσα, ψυχὰς καὶ σώματα.

Διάσωσον, ὦ θεηγόρε Προφῆτα παντὸς κινδύνου, τοὺς τὴν θείαν σου μνήμην ἐν ψαλμοῖς μεγαλύνοντας, καὶ λύτρωσαι ἡμᾶς πάσης ἀνάγκης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτην θερμὸν καὶ πρέσβυν πρὸς φιλάνθρωπον, πτωχῶν πλουτιστήν, πασχόντων ἀντιλήπτορα, ὁδηγὸν κεκτήμεθα, σὲ Προφῆτα ἔνδοξε κράζοντες· σπεῦσον ταχέως ῥύσασθαι ἡμᾶς, παγίδων δαιμόνων καὶ κακώσεων.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Προφητῶν θεοφώτιστε, χάριν τὴν πλουσίαν ἐκ θείου Πνεύματος, ἥνπερ εἴληφας δὸς ἅπασι, καὶ καρδίας λύπης διασκέδασον.

Ἰωὴλ ἱκεσίαις σου, πρὸς τὸν πανοικτίρμονα καὶ εὐΐλατον, τοὺς ὑμνοῦντάς σε περίσωζε, καὶ παράσχου βίον ἀνεπίληπτον.

Σωτηρίας τὸ μήνυμα, σὺ σοφὲ προεῖπας λαῷ ἀγνώμονι, προφητείᾳ ἀλλ’ οὐκ ἤκουσεν, ὃ ἡμῖν μετάδος φωτὶ χάριτος.

*Θεοτοκίον.*

Τὸν Υἱόν Σου δυσώπησον, ἵνα πᾶσιν ἵλεως Κόρη γένηται, ἱκετεύομεν οἱ δοῦλοί Σου, τοῦ φυγεῖν γεέννης πῦρ τὸ ἄσβεστον.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Οἴκοις τοῦ Θεοῦ, Ἰωὴλ ψαλμοῖς ὑμνοῦμέν σε, καὶ ἐξαιτούμεθά σου ταῖς προσευχαῖς, καὶ τὴν πρεσβείαν ῥυσθῆναι φρικτῆς κολάσεως.

Ὕψωσον σεπτέ, Ἰωὴλ Κυρίῳ χεῖράς σου, καὶ παθῶν κόπασον τὴν ζάλην λιταῖς, σαῖς πρὸς Σωτῆρα, γαλήνην ἡμῖν δωρούμενος.

Σκέπε ἐξ ἐχθρῶν, ὦ Προφῆτα τοὺς σὲ μέλποντας, καὶ ἐκ μηχανημάτων τοῦ πονηροῦ, σῇ ἀντιλήψει, καὶ φρούρει πιστοὺς ἀπήμονας.

*Θεοτοκίον.*

Δέσποινα ἁγνή, ἐκ βελῶν τοῦ πολεμήτορος, τοὺς προστρέχοντας ἐν πίστει ἀκλινεῖ, ἀεὶ σκέπε, τῇ ἀμέτρῳ Σου χρηστότητι.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἰάτρευσον, Ἰωὴλ ἐκ θλίψεων, τὴν νοσοῦσάν μου ψυχὴν καὶ καρδίαν, τὰς συμφοράς, ἀποδίωξον πόῤῥω, καὶ εἰρηναίαν κατάστασιν δώρησαι, τοῖς ᾄδουσι περιχαρῶς, ἀρετάς σου σοφὲ καὶ χαρίσματα.

Ἀφάνισον, τοῦ σατᾶν ἐπινοίας, καὶ ποικίλας τοῦ ἐχθροῦ μεθοδείας, ἀεὶ σοφέ, μετανοίας τὴν τρίβον, ὑποδεικνύων πρὸς βίου διόρθωσιν, καὶ ἐν τῷ βήματι Χριστοῦ, ἀκατάκριτον ποίησον δέομαι.

Σκοτόμαιναν, τοῦ νοὸς ἐκδίωξον, τῷ φωτὶ τῆς θεϊκῆς χάριτός σου, ὦ Ἰωήλ, καὶ ψυχὰς λευκοχρόους, ἐκ τῶν παθῶν μετανοίᾳ καθάρισον, ῥυόμενος πειρασμικῶν, τοῦ ἐχθροῦ ἐπιθέσεων πάντοτε.

*Θεοτοκίον.*

Ὢ Δέσποινα, ἐκ παθῶν με νήστευσον, καὶ δυνάμει Σου ἐνίσχυσον θείᾳ· ὅτι τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχεις ἐλπὶς καὶ μεσίτρια· ἀεὶ δ' ὑμνοῦμέν Σε πιστῶς, προσκυνοῦντες τὸν ἄφραστον τόκον Σου.

Διάσωσον, ὦ θεηγόρε Προφῆτα παντὸς κινδύνου, τοὺς τὴν θείαν σου μνήμην ἐν ψαλμοῖς μεγαλύνοντας, καὶ λύτρωσαι ἡμᾶς πάσης ἀνάγκης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτωρ τῶν Χριστιανῶν πέλεις ἔνδοξε, καὶ μεσίτης τῶν θεοσεβῶν πρὸς τὸν εὔσπλαγχνον· σὺ πιστοῦ σου λαοῦ ἐδείχθης θεῖος ὁδηγός· διὸ πρόφθασον ὦ Ἰωήλ, εἰς τὴν βοήθειαν ταχύ, τῶν πιστῶς προσκαλούντων σε· ἴασαι τοὺς νοσοῦντας, ἐκλύτρωσαι δαιμονῶντας, ἡμᾶς ἐκ βλάβης ἐξελοῦ, καὶ ἀνάγκης οὐρανόφωτε.

Προκείμενον: *Μὴ ἅπτεσθε τῶν χρηστῶ μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.*

Στ.: *Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήργιμα ἄρτου συνέτριψεν.*

*Εὐαγγέλιον.*

Δόξα: *Ταῖς τοῦ Σοῦ Προφήτου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἰωὴλ μακάριε, σαρκὸς τὸν μεμολυσμένον, καὶ ψυχῆς τὸν ἄστατον, σὲ νῦν καταφεύγοντα μὴ ἐάσῃς με· δέομαι σῶσόν με, ἱλάσκων Κύριον, σαῖς ἐνθέρμοις παρακλήσεσιν, ἴασιν βράβευσον ἄμφω, πειρασμῶν δ' ἐλευθέρωσον, θλίψεων ἐξαιρούμενον, καὶ τῶν χαλεπῶν συμφορῶν τοῦ βίου· ὅπως ἀνυμνῶ σου, πληθὺν τῶν ἀρετῶν παναληθῶς, καὶ μεγαλύνω ἐν ᾄσμαισν, ἄθλους καὶ καμάτους σου.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ζηλώσας τὸν πυρίνουν Ἠλιοῦ θεῖον ζῆλον ὦ Ἰωὴλ ἱερέ, ἐκήρυξας δοξάζειν, λαῷ Θεὸν τὸν μόνον, Ὂν συμφώνως δοξάζομεν, τῶν Προπατόρων ἡμῶν, ὑπερδεδοξασμένον.

Ὀφρὺν φύλων βαρβάρων, κακοδόξων τὰ θράση, δαιμονοπλήκτων ἰσχύν, ὦ Ἰωὴλ ἐν τάχει, κατάβαλε θεόφρον, ἵνα χαίροντες ᾄδομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱλέωσαι Δεσπότην, αὐλιζόμενος μάκαρ, μετ' Ἀσωμάτων χοροῖς, καὶ πᾶσι τοῖς δικαίοις, κολάσεως ῥυσθῆναι, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Σὲ ἁγνὴ καθορῶμεν, ἀπειρόγαμον Νύμφην ὡς προκατεῖδε Μωσῆς, ἐν τῷ Σιναίῳ Βάτον, φλογὶ παραδοθεῖσαν, ἀλλ’ δ’ ἄφλεκτον μείνασα· διὸ τὸ πῦρ τῶν παθῶν, ἡμῶν σβέσον Παρθένε.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Γῆθεν ἀνῆλθες, πρὸς τὴν Σιὼν ὦ Προφῆτα, τοῦ ποθεῖν ὁρᾶν τὸν πάντων Κτίστην· ὅθεν προσευχαῖς σου, κἀμῖν σὸν πόθον δίδου.

Ἐλέους θείου, καὶ δωρεῶν πλῆσον πάντας, καὶ λαὸν Ἑλλάδος γῆς τιμῶντα, σὲ τὸν θεηγόρον, Προφήτην τοῦ Κυρίου.

Ὦ πανοικτῖρμον, τοῦ Ἰωὴλ εὐχαῖς σῶσον, τοὺς πιστῶς ἀπαύστως Σε ὑμνοῦντας, καὶ δοξολογοῦντας, Σὸν κράτος εἰς αἰῶνας.

*Θεοτοκίον.*

Ῥῦσαι γεένης, τῶν οὐρανῶν πλατυτέρα, καὶ Ἁγίων ἡ ἁγιωτέρα, Μῆτερ Σὲ τιμῶντας, καὶ σκέπε πάσης βλάβης.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Γαλήνιον δὸς βίον, φύλαττε μοι Σῶτερ, τοῦ Σοῦ Προφήτου λιταῖς τὸν προσφέροντα, τόνδε τὸν ὕμνον καὶ πάντας περίσωζε.

Ἱκέτευε Σωτῆρα, ὅπως ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ ἡμᾶς Ἰωήλ, τοὺς σὴν πανένδοξον μνήμην πανηγυρίζοντας.

Ὀρδὰς τῶν ἀλλοπίστων, φυγάδευσον Προφῆτα, ἡμᾶς τοὺς ἐπαπειλοῦντας, δουλῶσθαι οἰκτρῶς καὶ ὑπερμάχει, τῶν πίστει ἀεὶ τιμώντων σε.

*Θεοτοκίον.*

Ὑψίστου ἡ καθέδρα, πέλεις ὦ Παρθένε· διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῆ Θεοτόκον ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ὢ κατορθωμάτων ὑπερφυῶν, ἱδρώτων καμάτων, δακρυῤῥόων τε προσευχῶν, ὢ καὶ ἐγκρατείας, νηστείας σωφροσύνης· δι’ ὧν σοφὲ σὸν βίον, ὄντως ἐκόσμησας.

Ῥῦσαι τῶν παγίδων τοῦ πονηροῦ, τοὺς σοὺς ἐξυμνοῦντας, θείους ἄθλους ὦ Ἰωήλ, ἐνάρετον βίον, καὶ πλῆθος θαυμασίων, ἃ ἔτι ζῶν ἐτέλεις, ἐν γῇ Πατέρων σου.

Πρόσδεξαι δεήσεις πάντων ἡμῶν, τῶν πιστῶς τελούντων, σὴν πανένδοξον ἑορτήν, ἔνδοξε Προφῆτα, τοῦ Πνεύματος δοχεῖον, Θεοῦ πυρίπνουν στόμα, καὶ νοῦς ἀείφωτος.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, σὲ παρακαλοῦμεν, ὑπὲρ δούλων ἁμαρτωλῶν, Ἰωὴλ Προφῆτα, τῶν ἀνυμνολογούντων, σὴν φωτοφόρον μνήμην, ὡς πρέσβυς ἔνθερμος.

Ὕβριν ἀποδίωξον ἀφ' ἡμῶν, πάθη ψυχοφθόρα, δυσπιστίαν καταλαλιάν, τὴν φιλαργυρίαν, σὺν τῇ φιληδονίᾳ, καὶ ἀρετῶν Προφῆτα, δὸς καρπὸν εὔχημον.

Μή μοι δὸς Θεῷ τὸ καταφρονεῖν, τῶν παραγγελμάτων, καὶ θελήματος ἀγνοεῖν, ἀλλὰ διδαχαῖς σου, καὶ προσευχαῖς παράσχου, τὸν φωτισμὸν καὶ χάριν, σοφὲ τοῦ Πνεύματος.

Τοὺς καταφιλοῦντας τὴν ἱεράν, μορφήν σου Προφῆτα, καὶ αἰτοῦντας σὴν ἀρωγήν, ῥῦσαι ἐκ κινδύνων, καὶ χάριν σου παράσχου, ἰώμενος ἐκ νόσων, ψυχῆς καὶ σώματος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ

λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πρόσδεξαι Προφῆτα Ἰωήλ, ὕμνον ἱερὸν ᾆσμα θεῖον, πρὸς σὲ νῦν περιχαρῶς, ῥόδα μῦρα δάκρυα, ἐν μετανοίᾳ θερμῇ, κατανύξει καὶ πόθῳ τε, πιστῶς σὴν Εἰκόνα, κατασπαζομένων σου, καὶ ἐκβοώντων τρανῶς· ἔνδοξε, σῇ χάριτι σκέπε, πάντας ἐξαιρούμενος νόσων, καὶ παθῶν ἡμᾶς φρουρῶν ἀπήμονας.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

